18 διαθῆκαι αἰῶνος ἐτέθησαν πρὸς αὐτόν,
ἵνα μὴ ἐξαλειφθῇ κατακλυσμῷ πᾶσα σάρξ.
19 Αβρααμ μέγας πατὴρ πλήθους ἐθνῶν,
καὶ οὐχ εὑρέθη ὅμοιος ἐν τῇ δόξῃ·
20 ὃς συνετήρησεν νόμον ὑψίστου
καὶ ἐγένετο ἐν διαθήκῃ μετ᾽ αὐτοῦ·
ἐν σαρκὶ αὐτοῦ ἔστησεν διαθήκην
καὶ ἐν πειρασμῷ εὑρέθη πιστός·
21 διὰ τοῦτο ἐν ὅρκῳ ἔστησεν αὐτῷ
ἐνευλογηθῆναι ἔθνη ἐν σπέρματι αὐτοῦ,
πληθῦναι αὐτὸν ὡς χοῦν τῆς γῆς
καὶ ὡς ἄστρα ἀνυψῶσαι τὸ σπέρμα αὐτοῦ
καὶ κατακληρονομῆσαι αὐτοὺς
ἀπὸ θαλάσσης ἕως θαλάσσης
καὶ ἀπὸ ποταμοῦ ἕως ἄκρου τῆς γῆς.
22 καὶ ἐν τῷ Ισαακ ἔστησεν οὕτως
δι᾽ Αβρααμ τὸν πατέρα αὐτοῦ.
23 εὐλογίαν πάντων ἀνθρώπων καὶ διαθήκην
κατέπαυσεν ἐπὶ κεφαλὴν Ιακωβ·
ἐπέγνω αὐτὸν ἐν εὐλογίαις αὐτοῦ
καὶ ἔδωκεν αὐτῷ ἐν κληρονομίᾳ·
καὶ διέστειλεν μερίδας αὐτοῦ,
ἐν φυλαῖς ἐμέρισεν δέκα δύο.
45 1 Καὶ ἐξήγαγεν ἐξ αὐτοῦ ἄνδρα ἐλέους
εὑρίσκοντα χάριν ἐν ὀφθαλμοῖς πάσης σαρκὸς
ἠγαπημένον ὑπὸ θεοῦ καὶ ἀνθρώπων
Μωυσῆν, οὗ τὸ μνημόσυνον ἐν εὐλογίαις·
2 ὡμοίωσεν αὐτὸν δόξῃ ἁγίων
καὶ ἐμεγάλυνεν αὐτὸν ἐν φόβοις ἐχθρῶν·
3 ἐν λόγοις αὐτοῦ σημεῖα κατέπαυσεν,
ἐδόξασεν αὐτὸν κατὰ πρόσωπον βασιλέων·
ἐνετείλατο αὐτῷ πρὸς λαὸν αὐτοῦ
καὶ ἔδειξεν αὐτῷ τῆς δόξης αὐτοῦ·
4 ἐν πίστει καὶ πραΰτητι αὐτὸν ἡγίασεν,
ἐξελέξατο αὐτὸν ἐκ πάσης σαρκός·
5 ἠκούτισεν αὐτὸν τῆς φωνῆς αὐτοῦ

$18^{2}$ κατακλ. > A† ‖ $19^{1}$ αβραμ A† | $19^{2}$ ομοιος] + αυτω A | τη > S^c ‖ $20^{3}$] pr. και BS | εστησεν] εζητησεν S† ‖ $21^{2}$ σπερμ.] pr. τω B | $21^{3.4}$ > S*† | $21^{7}$ της > B ‖ $22^{1}$ ισακ B*S*† ‖ $23^{2}$ init. pau.] pr. και rel. | $23^{3}$ ευλογ.] + υψιστου S*† | $23^{5}$ διεστησεν A†
45 $2^{1}$ δοξη] pr. εν SA† ‖ $4^{1}$ αυτον ηγ. Apau.] αυτου ηγ. B, αυτου ηγ. αυτον Smu.